Msc. Dresd.
A 163.

http://digital.slub-dresden.de/ppn345732103/1

3

http://digital.slub-dresden.de/ppn345732103/2

http://digital.slub-dresden.de/ppn345732103/3

| Zweck der Benutzung; Hinweise oder neue Ermittlungen zur vorliegenden Quelle |
|---|
| |

# liothek Dresden

en, die auf dem Studium der vorliegenden
exemplar (Belegexemplar) unverzüglich der

handschriftlicher Art, setzt die Unterzeich-

nehmigung der Bibliotheksleitung. Diesbe-
in schriftlich einzureichen.

| Art der Benutzung (eingesehen, verglichen, teilweise oder ganz abgeschrieben usw.) | Zweck der Benutzung; Hinweise oder neue Ermittlungen zur vorliegenden Quelle |
|---|---|
| | |

http://digital.slub-dresden.de/ppn345732103/4

II

http://digital.slub-dresden.de/ppn345732103/5

http://digital.slub-dresden.de/ppn345732103/6

III

http://digital.slub-dresden.de/ppn345732103/7

http://digital.slub-dresden.de/ppn345732103/8

IV

http://digital.slub-dresden.de/ppn345732103/9

http://digital.slub-dresden.de/ppn345732103/10

V

http://digital.slub-dresden.de/ppn345732103/11

http://digital.slub-dresden.de/ppn345732103/12

A. V.

1

Origenes
in proverbia Salom.
e Codd. Laud. K. 96
et
Barocc. 232.

http://digital.slub-dresden.de/ppn345732103/13

http://digital.slub-dresden.de/ppn345732103/14

Fragmenta Commentar. Orig: in PROVERBIA SALOMON. 2
e Codd. Laud. K. 96. et Barocc. 232. C. 1. v. 1.

Παροιμίαι Σολομῶντος υἱοῦ Δαβίδ. Ὠριγέν. Barocc.

Υἱὸς Δαβὶδ ὁ σωτὴρ λέγεται καὶ καλῶς· οὗτος γὰρ ὁ
εἰρηνικὸς ἡμῶν σωτήρ· ὁ γενόμενος ἐκ σπέρματος
Δαβὶδ κατὰ σάρκα· ἐβασίλευσεν ἐν ἱερουσαλήμ. διὸ
καὶ ἐπεγράφη τὴν ὑπὲρ ἀνθρώπων οἰκονομίαν τε-
λοῦντι οὗτος ἐστὶν ὁ βασιλεὺς τῶν ἰουδαίων. ἰουδαῖοι δέ
εἰσιν ὁ ἰσραήλ· ὧν ὁ εἰρηνικὸς βασιλεύει ὡς διο-
ρατικῶν. εἴγε γὰρ ἄρα εἰσὶν ἀληθῶς ἰσραήλ. οὐ
γὰρ ὅσοι σπέρμα τοῦ ἀβραὰμ πάντως καὶ τέκνα,
ἐν τῷ μὴ ποιεῖν τὰ ἔργα τοῦ ἀβραάμ:

Γνῶναι σοφίαν καὶ παιδείαν. Ὠριγέν. Ἡ σοφία ἐστὶν Laud
ἐπιστήμη θείων καὶ ἀνθρωπίνων πραγμάτων κατά- v. 2.
ληψις· κατὰ δέ τινα ἐστὶν ἀτμὶς τῆς τοῦ θεοῦ δυνά-
μεως καὶ ἀπόρροια τῆς τοῦ παντοκράτορος δόξης εἰλικρι-
νής· οὐδὲν γὰρ εἰς αὐτὴν σκοτεινὸν ἐμπίπτει. ἀπαύ-
γασμα γάρ ἐστι φωτὸς ἀϊδίου· καὶ ἔσοπτρον ἀκηλίδωτον τῆς

http://digital.slub-dresden.de/ppn345732103/15

τοῦ θεοῦ ἐνεργείας· καὶ εἰκὼν τῆς ἀγαθότητος αὐτοῦ ὁ γινώσκων ἄρα σοφίαν, ταῦτα γινώσκει· ταῦτα δὲ οὐδὲν ἕτερον ἐστὶν ἢ γνῶναι τὸν υἱὸν τῆς τοῦ θεοῦ ἀγαπήσεως. καὶ τὴν σοφίαν τὸν χριστόν· χριστὸς γὰρ θεοῦ δύναμις· τοῦτο δὲ οὐκ ἀπὸ σαρκὸς καὶ αἵματος· ἀλλ' ἀπὸ τοῦ οὐρανίου πατρὸς ἀποκαλύπτεται· γινώσκει δὲ σοφίαν καὶ ὁ τὴν ἐπιστήμην εἰδὼς τῶν θείων, νομικῶν καὶ προφητικῶν. καὶ εὐαγγελικῶν καὶ ἀποστολικῶν λόγων:

v. 2 Νοῆσαί τε] (Barocc. Νοῆσαι) λόγους φρονήσεως. Ὠριγέν.

Cod. utera Εἰ δέ φησιν ὁ λουκᾶς, ὡς ἐπῄνεσεν ὁ κύριος τὸν οἰκονόμον τῆς ἀδικίας, κατεχρήσατο, τὸν ἔπαινον (φαμὲν ὅτι εἰς τοῦτο add. Barocc. Cod.)
ἐπὶ τὸ τῆς ἐντρεχείας λαβών διὰ τὸ τῆς διανοίας ὀξύ. ὅπερ ἔοικε δηλοῦσθαι κἂν τῷ λόγῳ ὁ δὲ ὄφις ἦν φρονιμώτατος πάντων· καθὸ λέλεκται καὶ τὸ γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις· οἱονεὶ μὴ ἄπειροι τῶν τοῦ ὄφεως πανουργευμάτων:
(ὄφει· ὡς τῷ, add. Cod. Bar) (καθ' ὃ Cod. Bar.) (ὡσεὶ Cod. B.) (καὶ ἀκέραιοι. ὅσον Cod Bar)

v. 3 Laud. Δέξασθαί τε στροφὰς λόγων καὶ λύσεις αἰνιγμάτων. Ὠριγέν: Καὶ ἀναστροφῶν· στρεφομένους γὰρ τοὺς

http://digital.slub-dresden.de/ppn345732103/17

http://digital.slub-dresden.de/ppn345732103/18

λόγου κατὰ τὴν τάξιν· καὶ δοκοῦντος διακόπτεσθαι τοῦ εἱρμοῦ· ἀπό τινος διὰ μέσου λεγομένου· γίνεται τὸ ὑπερβατὸν καὶ καλούμενον στροφὴ λόγου· πάλιν τε αὖ ἀναλλασσομένης τῆς τάξεως ἐν τῇ προσαγορευομένῃ ἀναστροφῇ· οἱονεὶ στροφὴ ἐστι τοῦ λόγου· οἷον ὡς ἐπὶ παραδείγματος ὁ ψαλμῳδὸς φησίν· ὅτι ἐσίγησα ἐπαλαιώθη τὰ ὀστᾶ μου· ἀναστρέψας γὰρ ἐρεῖ οὕτως· ὅτι ἀπὸ τοῦ κράζειν με πρὸς σὲ ὅλην τὴν ἡμέραν, ἐσίγησα ἐπαλαιώθη τὰ ὀστᾶ μου ἵνα σημαίνῃ τοῦτο· ἐπειδὴ ἀπὸ τῆς πρὸς σε κραυγῆς καὶ δεήσεως καὶ αἰνέσεως ἐπαυσάμην· διὰ τοῦτο ἐξηράνθη τὰ ὀστᾶ μου· τότε γὰρ ὅτε ὕμνουν σου τὸ ὄνομα ὁ θεὸς· ἐλιπαίνετό μου τὰ ὀστᾶ· καὶ πολλὰ τοιαῦτα εὑρήσεις ἐν τῇ θείᾳ γραφῇ· ἐπιμελῶς προσέχων· ἢ στροφὰς λόγων, τὰ πράγματα φησὶ τὰ ἐπὶ χριστῷ γεγονότα· ὅτι ὁ ἄσαρκος σαρκοῦται· ὁ ἀόρατος ὁρᾶται· ὁ ἀπαθὴς πάσχει σαρκὶ ἰδίᾳ· ὁ ἀθάνατος ὑπὲρ ἡμῶν ἀποθνήσκει ἵνα

http://digital.slub-dresden.de/ppn345732103/19

τὴν ἀθανασίαν ἡμῖν χαρίσηται. ταύτας τὰς γραφὰς τῶν λόγων ἀπεριέργως δέξασθαι δεῖ πάντας τοὺς εἰς χριστὸν πιστεύοντας ἵν' οὕτως δύναται νοῆσαι. ὅτι διὰ τούτων κατώθωσαν ὁ ~~θε~~ υἱὸς τοῦ θεοῦ τὴν ἀληθῆ δικαιοσύνην. καὶ τὸ κρίμα ὃ ἔκρινεν. ἔκρινε γὰρ ὡς προγνώσεις πρὸ καταβολῆς κόσμου κατελθεῖν ἐκ τῶν οὐρανῶν καὶ σαρκωθῆναι καὶ περιτμηθῆναι κατὰ τὸν νόμον. καὶ λόγοις καὶ ἔργοις καὶ ὑπομονῇ καὶ ταπεινοφροσύνῃ. καὶ χρηστότητι καὶ ὑπερβαλλούσῃ, ἀγάπῃ διδάξαι τοὺς ἀνθρώπους ὅπως θεομιμήτως ἐπὶ τῆς γῆς πολιτεύσονται. καὶ θεῷ ἀρέσωσι, καὶ τῶν αἰωνίων ἀγαθῶν ἀπολαύσωσιν:——

Cod. utrq. v. 3. <u>Νοῆσαί τε δικαιοσύνην ἀληθῆ.</u> <u>Ὠριγένους.</u>

Δύναται καὶ ἀληθὴς δικαιοσύνη πρὸς ἀντιδιαστολὴν λέγεσθαι τῆς εἰκονικῆς. αὐτοδικαιοσύνη μὲν γάρ, ὁ χριστός, μεθέξει δὲ ταύτης ἡ ἐν ἑκάστῳ τῶν δικαίων εἰκὼν οὖσα, καὶ ἀφορῶσα πρὸς παράδειγμα τὸν χριστόν. πρὸς ἣν γεγράφθαι νομίζω. τὸ δίκαιος ὁ κύριος καὶ δι-

http://digital.slub-dresden.de/ppn345732103/20

http://digital.slub-dresden.de/ppn345732103/22

καιοσύνας ἠγάπησεν· ἀντιδιέσταλται δὲ καὶ τῇ συμβολικῇ δικαιοσύνῃ· πολλὰ γὰρ ἐν τῷ νόμῳ τῆς ἀληθείας τὰ σύμβολα· ἀλλὰ καὶ τῇ ψευδῇ δικαιοσύνῃ· ~~πο~~ κατὰ τὸ ἑβραϊκὸν καὶ τοὺς λοιποὺς οὐ πρόσκειται τὸ ἀληθεῦ· ὡς τῆς δικαιοσύνης οὐ δεχομένης ἀνθὶ διαστολήν:—

Καὶ κρῖμα κατευθύνειν.) Ὠριγέν· Τρία δὲ κριτήρια Laud v. 3
ἐν ἡμῖν αἴσθησις τῶν αἰσθητῶν λόγος τῶν λεγομένων· καὶ νοῦς τῶν νοητῶν· κατευθύνει δέ τις κρῖμα καὶ θείας χάριτος· πρό γε τῶν ἄλλων ~~[illegible]~~ τυχών· παρὰ θεοῦ γὰρ εὐθύνεται τὰ διαβήματα ἀνδρί· ἐπεὶ θνητόν, πῶς ἂν νοήσαι τὰς ἑαυτοῦ ὁδούς· οἱ δὲ λοιποὶ κρίσιν καὶ εὐθύτητα ἐξέδωκαν· οὐδενὸς ἀκρίτου ἔχοντος κρίσιν· οὐδὲ σκολιοῦ εὐθύτητα· καὶ τάχα αἱ ἀρεταὶ εὐθύτητές εἰσιν· ὡς καὶ αἱ κακίαι σκολιότητες:—

Ἵνα δῷ ἀκάκοις πανουργίαν.) Ὠριγέν· Ὁ ἀγνοῶν Cod. utera v. 4
κακοηθείας, ταῖς πανουργίαις, ὑποπίπτει τῶν κακοηθῶν, αὐτὸς εὐήθης ὑπάρχων ὡς περὶ ~~[illegible]~~ ψεκτοῦ γοῦν τῷ

κακοῦ λέγεται. ἄκακος πιστεύει παντὶ λόγῳ, διόπερ ἀπήγα-
γα πανοῦργος δὲ ἔρχεται εἰς μετάνοιαν. τελείως περὶ τῶν
ἐπίσταται προπετῶν μετανοεῖ. τὴν κακίαν ταύτην ἀφήμως
ὁ ἀπόστολος εἶπεν· ἁπλότητα λέγων. φοβοῦμαι μήπως ὡς
ὄφις ἐξηπάτησεν Εὔαν ἐν τῇ πανουργίᾳ αὐτοῦ, οὕτως φθα-
ρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς Χρι-
στόν. δεῖ οὖν φυλαττομένους τὴν τοῦ πονηροῦ πανουργίαν γί-
νεσθαι καθ' ἑαυτοὺς μὲν ἀκεραίους ὡς αἱ περιστεραί.
φρονιμώτατοι ὄφεις Cod. Bar.
πρὸς δὲ τὰ ἐπιβουλεύοντα φρονίμους ὡς ὄφεις. τῇ γὰρ
~~τέλειοι add. C. B.~~
κακίᾳ φησὶ νηπιάζετε. ταῖς δὲ φρεσὶ γίνεσθε τέλειοι.
ἡ ἀκακία γοῦν διττή. ψεκτὴ μὲν ὡς εἴρηται. ἐπαινετὴ
δέ, ὡς ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορευόμην. —

v. 5 Ὁ δὲ νοήμων, κυβέρνησιν κτήσεται | Ὠριγέν. Ἐπ-
είπερ λόγον σοφὸν ἐὰν ἀκούσῃ, ἐπιστήμων αἰνέσαι αὐ-
τόν, καὶ ἐπ' αὐτὸν προσθήσει. ὁ δὲ γενόμενος νοήμων.
τὸ λοιπὸν προσθήσει κατά τε πρᾶξιν καὶ θεωρίαν. ὥστε.

http://digital.slub-dresden.de/ppn345732103/25

http://digital.slub-dresden.de/ppn345732103/26

τοῦ παρὰ ταῦτα πλεῖστον κατευθῦναι. λείπει δὲ τῷ ἀν-
θρωπίνῳ νῷ ἡ (παρὰ C.B) περὶ θεοῦ κυβέρνησις, ἣν ὁ ἔχων νοή-
μων καὶ προσέτι σοφὸς, οὐ πείθεται τὶ δεινόν. ὁ τοιοῦ-
τος, πλέων ἐπιστημόνως πρὸς τὸν θεὸν ἐπὶ τὸν λιμένα
φθάσει τοῦ θελήματος αὐτοῦ. ὁ δὲ μὴ τοιοῦτος ἢ περὶ
τὴν πίστιν ναυαγήσει, ἢ περὶ τὴν ἐλπίδα, ἢ περὶ τὴν
ἀγάπην ἤ τινα τῶν ἀρετῶν. ὁ δὲ περὶ ταῦτα ναυα-
γήσας εἰκότως ἂν λέγοι (ει C.B.) ἦλθον εἰς τὰ βάθη τῆς θα-
λάσσης καὶ καταιγὶς κατεπόντισέ με. καὶ δεῖ λέγειν ἀεί.
ῥυσθείην ἐκ τῶν μισούντων με καὶ ἐκ τῶν βαθέων ὑδάτων:—

Νοήσει τε παραβολὴν καὶ σκοτεινὸν λόγον. ῥήσεις τε v. 6
σοφῶν καὶ αἰνίγματα. Ὠριγέν. καὶ πῶς ἁρμόσει τοῦτο, Barou.
τὸ ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου. γέγονε γὰρ ὅπερ
ἐπήγαγεν. ἐναντίον τῶν πατέρων ἡμῶν ἃ ἐποίησε
θαυμάσια. κατὰ γὰρ τὸ ῥητὸν διέρρηξε θάλασσαν
καὶ διήγαγεν αὐτοὺς καὶ τὰ ἑξῆς. πάντα γὰρ ταῦτα γέγονεν

οὐ καὶ σύμβολά ἐστι τῶν ἐφ' ἅπερ ἀνάγεται. τρόπῳ
παραβολῶν εὐαγγελικῶν παραλαμβανόμενα. ἕτερος δέ τις
ἐρεῖ· οὐκ ἐπὶ τὰ ἀπὸ τῆς ἐνδόξου ἀναφέρεσθαι τὸ ἀνα-
ξαι ἐν παραβολαῖς. ἀλλ' ἐπὶ τὰς ἐν τῷ εὐαγγελίῳ πα-
ραβολὰς τοῦ χριστοῦ λέγοντος ἐν τῷ προφήτῃ. προσέχε-
τε λαός μου τῷ νόμῳ μου καὶ τὰ ἑξῆς:—

Laud. v. 7. sed Cod. Bar. idem hoc fragm. Γεωργ. assignat.

Ἀρχὴ σοφίας, φόβος κυρίου | Ὠριγένους. Τὸ τῆς ἀρ-
χῆς ὄνομα δηλοῖ καὶ τὴν ἡγεμονίαν. ὡς ἐν τῷ μετὰ
δικαιοσύνης ἑτοιμάζεται θρόνος ἀρχῆς καὶ τὴν τι-
νὸς διδασκαλίας εἰσαγωγήν. ὡς ἐν τῷ ἀρχὴ ὁδοῦ ἀγα-
θῆς, τὸ ποιεῖν δίκαια, τουτέστιν ἠθικὰ παιδεύματα. ὁ
δὲ λέγει ἀγαθήν, τὴν ἐπὶ σοφίαν ἄγουσαν θεωρίαν. ἀρ-
χὴ καὶ ἡ τινος ὑπάρξεως αἰτία ὡς ἐν τῷ ἐγώ εἰμι ἡ ἀρ-
χὴ καὶ τὸ τέλος. ἀρχὴ μὲν ὡς τὸ εἶναι διδούς. τέλος
δὲ ὡς τελειώσεως ἀφορμή. νῦν οὖν ἀρχὴ, ἡ εἰσαγου-
σα εἰς τὴν σοφίαν μάθησις κατὰ τὸν τοῦ θεοῦ φόβον
συνισταμένη. φόβου γὰρ παθητικὸς μὲν δεινῶν προσδοκία.

ἐγγινόμενος

http://digital.slub-dresden.de/ppn345732103/28

http://digital.slub-dresden.de/ppn345732103/30

ἐγγινόμενος τοῖς φόβῳ κολάσεως ἐκκλίνουσι τὴν κα-
~~κυρίως add. C.B.~~
κίαν. τοῦτον δὲ οὐδὲ φόβον θεοῦ κυρίως προσαγορευ-
τέον. εἰ καὶ ἀπειλεῖται τῶν φοβουμένων τὸν δυνάμενον καὶ
ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ, ὃν ἐκβάλλει ἡ τε-
λεία ἀγάπη. θεοῦ δὲ φόβος ἀληθὴς, ἡ κατὰ σεβασμὸν
εὐλάβεια καθ' ὃν θέλει τις σφόδρα ἐν ταῖς ἐντολαῖς αὐ-
τοῦ πόθῳ γνησίῳ εἰς ἔργα μεταβάλλων αὐτάς. καὶ
ἀρχὴ σοφίας θεοῦ γινόμενος κατ' εἰσαγωγήν. πληρέ-
στατον γὰρ τοῦτον εὑρήσεις ἐν τῷ κατὰ σοφίαν
τετελειωμένῳ. καθ' ὃν λέγεται μὴ εἶναι ὑστέρημα
τοῖς φοβουμένοις τὸν θεόν.

Σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν. εὐ- v. 7.
σέβεια δὲ εἰς θεὸν, ἀρχὴ αἰσθήσεως | Ὠριγέν. Τῆς θεί- Cod. ἀκεφ. sed Barocc. γεωργ. adsignat.
ας αἰσθήσεως τῆς κατὰ τὸν ἔσω ἄνθρωπον. καθ'
ἣν ὁρῶμεν τὸ φῶς τὸ ἀληθινὸν καὶ ἀκούομεν τῶν
κεκρυμμένων λογίων. καὶ τρεφόμεθα τὸν ἄρτον τῆς ζωῆς,
ἀντιλαμβανόμεθα τε τῆς εὐωδίας χριστοῦ. καὶ ἁπτόμεθα

http://digital.slub-dresden.de/ppn345732103/31

τὸ λόγου τῆς ζωῆς· ταύτης ἀρχὴ αἰσθήσεως ἡ πρὸς θεὸν

εὐσέβεια τουτέστιν αἰτία: —

Cod. uterq. Ἄκουε υἱέ μου νόμους πατρός σου· καὶ μὴ ἀπώσῃ θε-

v. 8. σμοὺς μητρός σου· [illegible]· Εἰ καὶ ἀναγωγὴν ἔχει τὰ

πράγματα, ἀλλ' ἐφαρμόζονται καὶ τοῖς κατὰ φύσιν γο-

νεῦσιν· ὅταν θεοσεβεῖς ὄντες, κατὰ θεὸν ἀνατρέφωσι

τὰ τέκνα, ὄντος δὲ ἀνδρὸς τοῦ διδασκάλου· τοῦ γεν-

νήσαντος διὰ τοῦ εὐαγγελίου τοὺς παιδευομένους· σύ-

ζυγος τούτου μήτηρ ἐστὶ τῶν ταχθέντων ἡ ἐκκλησία·

μάλιστα δὲ ἡ ἐκκλησιαστικὴ γνώμη καὶ πολιτεία. ἂν τού-

των ἐμοῦ φησι τοῦ παροιμιαστοῦ· νῦν μὲν ὡς καθηγητοῦ

καὶ πατρός· νῦν δὲ καὶ σοφίαν καὶ ἀρετὴν ἀντὶ μητρὸς κατα-

κούσῃς, στεφανωθήσῃ χαρίτων στεφάνῳ. ὕλη γὰρ

στεφάνου ὃν ἀναδεῖται ἡ τοῦ ἔσω ἀνθρώπου κεφαλή,

αἱ ἀρεταὶ χάριτας ὀνομαζόμεναι τυγχάνουσι συμφώ-

νως δὲ τῷ στεφάνῳ νοητῷ ὄντι· καὶ τὸν χρύσεον

κλοιὸν ἐπιβαλλόμενον τῷ τῆς ψυχῆς τραχήλῳ, ὁ λέγει

http://digital.slub-dresden.de/ppn345732103/33

http://digital.slub-dresden.de/ppn345732103/34

ὑποτακτικῷ αὐτῆς. ἢ πατρὸς τοῦ θεοῦ, καὶ πατρὸς τῶν
ὅλων. μητρὸς δὲ τῆς ἀναγεννησάσης σοφίας ἥτις σου
μήτηρ. — καὶ τιθηνὸς ἡμῶν γίνεται. καὶ γαλουχοῦσα ἡ-
μᾶς καὶ ἀναθρέψασα ~~[illegible]~~ ἐν τοῖς λόγοις καὶ ἐντολαῖς
τοῦ θεοῦ. ἐὰν γὰρ τηρήσῃς ἐν καρδίᾳ πιστῇ τὸν νόμον
τοῦ σου πατρὸς. καὶ φυλάξῃς τὰς ἐντολὰς τῆς μητρὸς,
στέφανον χαρίτων δέξῃ σῇ κορυφῇ, καὶ κλοιὸν χρύ-
σεον. πότε ἀλλ' ἐν τῇ ἀναστάσει τῶν δικαίων ἐν τῇ
ἐπουρανίῳ καὶ ἀφθάρτῳ βασιλείᾳ. δοξαζόμενος. στε-
φανούμενος ὑπὸ χριστοῦ:

τοῦ αὐτοῦ. Πατρὸς μὲν ἀκούομεν λόγους τῆς γραφῆς, Saud
μητρὸς δὲ τὰς ἀγράφους παραδόσεις τῆς ἐκκλη-
σίας. ὁποῖον τὸ νηστεύειν ἐν παρασκευαῖς. καὶ ἕτερα
δὲ τοιαῦτα. ὥστε φησί, μὴ πάντα θέλε ἀπὸ γραμ-
μάτων ἀκούειν. ἔστι δὲ καὶ τοὺς φυσικοὺς νοεῖν πατέρας.
ἢ καὶ τοὺς πνευματικοὺς νοεῖν διδασκάλους. καὶ γὰρ
τούτων μήτηρ ἡ ἐκκλησία:

v. 9. Στέφανον γὰρ χαρίτων δέξῃ σῇ κορυφῇ· καὶ κλοι-

Laud ὸν χρύσεον περὶ σῷ τραχήλῳ.] Ὠριγέν. ἀλλὰ καὶ χάριτι

θεοῦ πολλάκις σωζόμεθα:—

v. 13. Τὴν κτῆσιν αὐτοῦ τὴν πολυτελῆ καταλαβώμεθα.

Laud Ὠριγέν. Θήσαιεν δὲ ταῦτα καὶ οἱ εἰπόντες· οὗτος ἐστιν

ὁ κληρονόμος δεῦτε ἀποκτείνωμεν αὐτὸν ἵνα ἡμῶν γένη-

ται ἡ κληρονομία:—

v. 13 & 14 Πλήσωμεν δὲ οἴκους ἡμετέρων σκύλων etc. ad

Cod. uterq. γενηθήτω ἡμῖν]. Ὠριγέν. ~~[illegible]~~

Cod. v. Barocc. Eusebio tribuit. ~~[illegible]~~ Πῶς σκῦλα προσαγορεύεις τὰ μὴ πολι-

μως νόμῳ ληφθέντα. ἀλλ' ἐκ γνώμης τῆς ἀδικίας κακῶς

σοι παραγινόμενα:—

Μὴ ἴσθι φρόνιμος παρὰ σεαυτῷ, φοβοῦ δὲ τὸν θεὸν

καὶ ἔκκλινε ἀπὸ παντὸς κακοῦ τότε ἴασις ἔσται τῷ

Laud σώματί σου, καὶ ἐπιμέλεια τοῖς ὀστέοις σου. Ὠριγέν. Ἡ

ἐξ ἀρετῆς ὑγεία τῇ πολιτείᾳ σου. ἡ δὲ τοῦ θεοῦ χάρις

καὶ ἐπιμέλεια τοῖς λογισμοῖς σου καὶ διανοήμασιν:—

Παρ' ὀλίγον ἐγενόμην ἐν παντὶ κακῷ ἐν μέσῳ

[illegible] ἐκκλησίας καὶ συναγωγῆς. Ὠριγέν. Παρ' ὀλίγον ἐγενόμην

http://digital.slub-dresden.de/ppn345732103/36

http://digital.slub-dresden.de/ppn345732103/37

http://digital.slub-dresden.de/ppn345732103/38

ἐν παντὶ κακῷ, ἦν ὅτε οὐκ ἦν κακία. καὶ ἔσται ὅτε οὐκ
ἔσται. οὐκ ἦν δὲ ὅτε οὐκ ἦν ἀρετή. οὐ δὲ ἔσται ὅτε οὐκ
ἔσται· ἀνεξάλειπτα γὰρ τὰ σπέρματα τῆς ἀρετῆς.
πείθει δέ με καὶ ἔθος. ~~πρὸ~~ παρ' ὀλίγον καὶ οὐκ ἐν παντὶ
κακῷ γεγονώς. καὶ ὁ πλούσιος ἐν τῷ ᾅδῃ διὰ τὴν κακί-
αν κρινόμενος, καὶ οἰκτείρων τοὺς ἀδελφούς. τὸ δὲ
ἐλεεῖν, σπέρμα τὸ κάλλιστον τῆς ἀρετῆς.—

Ὁ παιδεύων κακοὺς λήψεται αὐτῷ ἀτιμίαν. Laud
ἐλέγχων δὲ τὸν ἀσεβῆ, μωμήσεται ἑαυτόν. ετε
αδ καὶ βουλὴ ἁγίων σύνεσις. Ὠριγέν. Οὔτις αὐτοὺς
ἀποσπῆναι πείθει κακίας, ἢ κακοὺς φησὶ τοὺς ἀπὸ
ἁμαρτίας ἐπιστρέφοντας. καὶ θέλοντας ἐλεεῖν πρὸς με-
τάνοιαν. ἀκμὴν δὲ κακοὺς ὄντας, ὑπόμενε καὶ μὴ ἔ-
λεγχε καθ' ἕκαστον σφάλμα. ἴσως μὴ εἰς μῖσος ἐκ
προοιμίων ἔλθωσιν. ἀλλ' ὑπόμεινον ἕως οὗ στερε-
ωθῶσι καὶ γένωνται σοφοὶ καὶ τότε ἔλεγχε. οὕτως
καὶ ὁ Χριστὸς ἐποίει ~~τ~~ τοὺς μαθητὰς ἔτι νέους ὄντας
οὐκ ἤλεγχε διὰ τὸ μὴ δύνασθαι ἀσκοὺς παλαιούς.

http://digital.slub-dresden.de/ppn345732103/39

τὸν νέον οἶνον· ἢ κακοὺς τοὺς ἄφρονας καὶ μωρούς· ἢ τοὺς
πάντη ἀλλοτρίους θείας διδασκαλίας· εἰ δὲ καὶ ἠλέγχοντο
ἀγαθῷ καὶ ἠρώδης ἀλλ' ἤδη μετῆλθον τοῦ θείου νόμου
καὶ παρέβησαν, διὸ καὶ τούτους δεῖ ἐλέγχειν τὸν σοφίᾳ
προκόπτοντα. δίκαιον τὸν εὐγνώμονα λέγει· γνώριζε
ἐν τούτῳ τὰς τῆς δικαιοσύνης ὁδούς, καὶ μεθ' ἡδονῆς
προσδέξεται.

Υἱὸς σοφὸς (λογισμός·) εὐφραίνει πατέρα (νοῦν)· υἱὸς δὲ ἄφρων
λύπη μητρί (αἴσθησιν)· οὐκ ὠφελήσουσι etc. ad ἐν ἄμη τῷ υἱὸς
Laud παράνομος. Ὠριγέν. τῷ μὲν συνετῷ καὶ δικαίῳ· καὶ τὰ
δυσχερῆ τῶν πραγμάτων εὔκολα γίνεται· τῷ δὲ
ἑτέρως ἔχοντι· καὶ τὰ ~~εὐχερῆ~~ εὔκολα καὶ ἀναψυχὴν
τινὰ ἔχοντα δυσχερῆ καθίσταται.

Εὐλογία κυρίου ἐπὶ κεφαλὴν δικαίου· στόμα δὲ
Laud ἀσεβῶν etc. ad μετὰ παρρησίας εἰρηνοποιεῖ. Ὠριγέν.
Σύνεσις καὶ ἐπιστήμη ἐν τῷ ἡγεμονικῷ αὐτοῦ. ἐν μέσῳ
φερομένου λόγου περὶ δικαίου· οὗτος μὲν ἐγκωμιάζεται.

http://digital.slub-dresden.de/ppn345732103/40

http://digital.slub-dresden.de/ppn345732103/42

γῆ δὲ τοῦ ἀσεβοῦς ὄνομα ἀπόλλυται ἅτα τῶν πεσεῖται. σο-
φὸν μὲν οὖν καλεῖ, τὸν ἐκ φύσεως ἔχοντά τι. ἄστεγον δὲ
χείλεσι τὸν οὐκ εἰδότα. ἀκήκοας λόγον συναποθανέ-
τω σοι. ἢ ὅτι ὁ ποτὲ μὲν τοῦτο λαλῶν ποτὲ ἐκεῖνο
πεσεῖται. ὁ μηδὲν τῷ πλησίον κακόν τι κλαινόμενος
ὁ δὲ παρ' ἑτέρου τινὸς ἐπιβουλὴν ἐκδέξεται. ὁ δὲ λα-
θραίως ἐπιβουλεύων καὶ εἰς πρόσωπον ἐπαινῶν οὗτος
γνωσθήσεται. καὶ δοκεῖ λανθάνειν ἕως καιροῦ. ἢ οὕτως
ὁ δίψυχος καὶ μὴ ἁπλῶς διελέγχεται. ἔλεγχος
δὲ τοῦ πράγματος ἐστὶν ἡ τῆς ἀληθείας ἀπόδειξις.
ἐλεγχθήσεται καὶ καταγνωσθήσεται ὁ δίψυχος καὶ ἀ-
θατος ὁ σοφὸς ἐπιτιμητικῷ λόγῳ εἰς αἴσθησιν ἄ-
γει τὸν βαρυκάρδιον:

http://digital.slub-dresden.de/ppn345732103/43

http://digital.slub-dresden.de/ppn345732103/44

VI

http://digital.slub-dresden.de/ppn345732103/45

http://digital.slub-dresden.de/ppn345732103/46

VII

http://digital.slub-dresden.de/ppn345732103/47

VIII

http://digital.slub-dresden.de/ppn345732103/49

http://digital.slub-dresden.de/ppn345732103/50

IX

http://digital.slub-dresden.de/ppn345732103/51

http://digital.slub-dresden.de/ppn345732103/52

X

http://digital.slub-dresden.de/ppn345732103/53

http://digital.slub-dresden.de/ppn345732103/54

Mscr. Dresd.
A 163.

http://digital.slub-dresden.de/ppn345732103/55

http://digital.slub-dresden.de/ppn345732103/56